# 28 OCTOMBRIE
# ANTONIOS MARKOU

# SLUJBA SF.IERARH DIMITRIE, MITROPOLITUL ROSTOVULUI




## MINEIUL PE OCTOMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 28 Ὀκτωβρίου

# Ἀκολουθία Ἁγίου ΔΗΜΗΤΡΙΟΥ, ἀρχιεπ. Ῥοστώφ

## Ποίημα Ἀντώνιος Μάρκου

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Ἱστῶμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παραδείσου τό ἄνθος* τό εὐωδέστατον,* Χριστοῦ τὴν εὐωδίαν* ἀποπνέοντα ὅλως,* αἰνέσωμεν Δημήτριον καὶ τῶν αὐτοῦ* θαυμασίων τρυφήσωμεν,* Εὐαγγελίου ὡς ἐργάτην καὶ τῆς κλεινῆς,* κλεινῆς Ῥωσίας τό ὀσφράδιον.

Χαίροις θειότατε Πάτερ* καί περιτίμητε,* Κιέβου θεῖον τέκνον* ὁ ἀναδειχθείς ἐν Κυρίῳ,* ἀνδρῶν τε φιλοθέων καὶ γυναικῶν* Πατήρ, ἀγάπης ὁ ἔμπλεος·* τοῦ σοῦ ποιμνίου ὁ θεῖος ὁδηγητής* πρός τήν Μάνδραν τήν οὐράνιον.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου* νῦν ἠξιώθης οἰκεῖν* καὶ σὺν Ἀγγέλοις μέλπειν,* τὸν Τρισάγιον ὕμνον,* Δημήτριε Πάτερ· ὑπὲρ ἡμῶν,* τῶν σῶν τέκνων δεήθητι* ἐλεηθῆναι, ῥυσθῆναι τε, συμπαθῶν* τῆς παρούσης περιστάσεως.

Τοῖς Ἀσωμάτοις συνήφθης* ἐπὶ τῆς γῆς κατοικῶν* καὶ σὺν αὐτοῖς ἀπαύστως,* νῦν ὑμνεῖς τήν Τριάδα,* Δημήτριε παμμάκαρ· ὅθεν ἀεί,* ὡς οὐράνιος ἄνθρωπος,* περιπολεύων τὰ ἄνω ἀντιλαβοῦ* τῶν ἐν γῇ μνήμην τιμώντων σου.

Δόξα. Ἦχος β΄.

Εὐφραίνεται ἐπί σοι, Πάτερ,* ἡ Ἐκκλησία τοῦ Χριστοῦ* μετ’ εὐφροσύνης κράζουσα·* χαῖρε φωστήρ αὐγάζων γῆν Ἁγίας Ῥωσίας,* ὁ ταύτην οὐρανώσας·* χαῖρε τό τῆς Κυρίλλου Μονῆς εὔοσμον ἴον,* ὁ τόν Σταυρόν τοῦ Κυρίου ἀράμενος* καί σταυρικῷ τῷ τρόπῳ,* Σταυροῦ τῷ ἱστίῳ,* πρός τήν μένουσαν διαπορθμευθείς εὔκλειαν·* χαῖρε ὁ ὁδηγός,* ὁ οὐρανίᾳ ὁδηγίᾳ πιστούς ὁδηγήσας* πρός τήν πόλιν τήν μέλλουσαν.* Ὡς ἔχων παῤῥησίαν,* ὑπὲρ ἡμῶν Χριστῷ τῷ Κυρίῳ πρέσβευε.

Καί νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πρέσβευε ἐκτενῶς* ὑπὲρ τῶν σέ τιμώντων,* Δημήτριε τρισμάκαρ,* ῥυσθῆναι τῶν παγίδων* ἐχθροῦ τοῦ πολεμήτορος.

Στ. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Ἄνθος Χριστοῦ τερπνόν,* ἁγιωσύνης κλέος,* τῇ σῇ εὐωδεστάτῃ* καὶ μυριπνόῳ δόξῃ,* πάντας ἡμᾶς κατηύφρανας.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Λύτρωσαι τῶν δεινῶν* κινδύνων ἡμᾶς πάντας,* Δημήτριε, δυσωποῦμεν,* ὡς ἄριστος προστάτης,* ἡμῶν καὶ φύλαξ ἄγρυπνος.

Δόξα. Τριαδικόν.

Τριάδι τῇ σεπτῇ,* παρ’ Ἧς ἡ σωτηρία,* ὑπὲρ ἡμῶν ἀπαύστως,* μὴ παύσῃ τοῦ πρεσβεύειν,* Ῥοστώφ σεπτέ Ἐπίσκοπε.

Καὶ νῦν. Θεοτοκίον.

Ἄνασσα τοῦ παντός* καί Μήτηρ τοῦ Ὑψίστου* ὑπάρχουσα, Παρθένε,* μετά τοῦ Δημητρίου,* Κυρίῳ ἱκετεύσατε.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Μοναζόντων ἀλείπτης ἐν Ῥωσίᾳ ἀναδέδειξαι* καί τῶν τοῦ Κυρίου Ἁγίων συγγραφεύς Βίων ἔνθερμος·* μονῆς τε τοῦ Κυρίλλου οἰκιστής,* Ποιμήν δέ Ῥαστωβίας ἀγαθός·* τό σόν λείψανον κατέλιπες τοῖς πιστοῖς* ἀδιάφθορον, Δημήτριε.* Δόξα οὖν τῷ σὲ δοξάσαντι Χριστῷ,* δόξα τῷ σὲ ἁγιάσαντι,* δόξα τῷ δωρουμένῳ διὰ σοῦ* πᾶσιν τήν ἴασιν.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοί Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικίσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διά τοῦ τόκου Σου.

Ἀπόλυσις.

# ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Μετά τόν Προοιμιακόν τὸ Μακάριος ἀνήρ· εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Τῶν Ὀρθοδόξων οἱ δῆμοι,* Ἀρχιερέων πληθύς,* εἰς ἓν συναθροισθέντες,* εὐφημήσωμεν πόθῳ,* θείοις ἐγκωμίοις τὸν ἱερόν* τῆς Ῥαστωβίας Ἐπίσκοπον* Δημήτριον ἅπαντες τόν σεπτόν,* πρέσβυν κόσμου δέ τόν ἔνθερμον.

Ἐν προσευχῇ ἀεννάῳ* ὅλον ἐπτέρωσας,* τὸ νοερόν σου, Πάτερ·* φρόνημα δέ τῆς σαρκός σου,* ἐμάρανας ἀσκήσει διηνεκεῖ,* τῇ ἀγάπῃ δὲ ἔσβεσας,* τὸ θυμικὸν· διὸ οἶκος τοῦ Παντουργοῦ* ἀνεδείχθης θείου Πνεύματος.

Δεῦτε προσπτύξασθε πάντες* οἱ νόσους ἔχοντες,* τὴν σεβασμίαν θήκην* τοῦ Ἀρχιθύτου λειψάνων·* βρύει γὰρ ἰάσεις παντοδαπάς,* τοῖς πρό αὐτῆς γόνυ κλίνουσι* καὶ τὰ τοῦ σώματος πάθη καὶ τῆς ψυχῆς* θεραπεύει θείᾳ χάριτι.

Ἕτερα. Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Φωταυγής ὥσπερ ἥλιος,* ἐκ Ῥωσίας ἀνέτειλας* καταρδεύων ὑφήλιον,* ῥοῇ τῇ τῶν λόγων σου,* τῶν σεπτῶν παμμάκαρ,* Δημήτριε Πάτερ,* Ἱεραρχῶν ἡ καλλονή,* τῆς Ῥαστωβίας φύλαξ καί Ἄγγελε·* διό σοῦ τήν πανίερον* καί πανυπέρτιμον κοίμησιν,* εὐλογοῦντες δοξάζομεν* κ αί μελωδοῦντες τιμῶμεν σε.

Προσφοράν τόν βίον σου* εἰς τήν Τριάδα προσέφερες,* προκηρύττων τοῖς πέρασι*

Πατέρα τόν Ἄναρχον* καί τόν Τούτου Λόγον,* Δημήτριε Πάτερ,* καί τό Πανάγιον ὁμοῦ,* ἐν σοί σκηνῶσαν, Πνεῦμα Παράκλητον·* διό καί μακαρίζεσαι* χρεωστικῶς καί γεραίρεσαι,* ὡς λυτρούμενος ποίμνην σου,* πάσης βλάβης καί λύμης τε.

Δεῦτε νῦν φιλέορτοι* καί Ὀρθοδόξων πᾶν σύστημα,* συμφώνως τιμήσωμεν* Κυρίου θεράποντα* Δημήτριον θεῖον,* ὅστις ἐν Ῥωσίᾳ,* δι᾽ εὐχῆς καί ἱλασμῶν,* τῆς Βασιλείας Χριστοῦ ἐπέτυχεν·* διό καί νῦν γεραίρεται* καί ὑπό πάντων δοξάζεται,* τῶν Ῥοστώφ τῷ τεμένει του* προστρεχόντων ἐκ πίστεως.

Δόξα. Ἦχος πλ. α΄.

Συνδράμωμεν ἀδελφοί,* ἐπί τῇ μνήμῃ τοῦ Ῥαστωβίας Ἀρχιθύτου* καί ὕμνοις αὐτοῦ καταστέψωμεν τό ἄφθαρτον δέμας,* χαῖρε βοῶντες τό τοῦ Πνεύματος πόλισμα* καί ναός ἔμψυχος τοῦ Παντάνακτος Θεοῦ.* Σύ γάρ τόν καύσωνα τοῦ θέρους ἐβάστασας* καί τόν παγετόν τοῦ χειμῶνος ὑπέμεινας,* κρουνός ἀνεδείχθης* δωρεῶν τῶν τοῦ Πνεύματος,* ἐπί τοῖς ἀναξίοις δούλοις τοῦ Θεοῦ·* ἐπί τῷ τέλει δέ* τήν τοῦ σώματος ἀφθαρσίαν,* παρά Κυρίου ἔλαβες.* Πρέσβευε οὖν Αὐτῷ,* Πάτερ Δημήτριε,* μετανοίας τήν τρίβον ἡμῖν διδάξαι,* σαῖς ἱκεσίαις καί δεήσεσι.

Καί νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ* τῆς ἀπειρογάμου Νύμφης* εἰκὼν διεγράφη ποτέ.* Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος,* ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος.* Τότε τὸν βυθόν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ,* νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν* ἀσπόρως ἡ Παρθένος.* Ἡ θάλασσα* μετὰ τὴν πάροδον τοῦ

Ἰσραήλ* ἔμεινεν ἄβατος.* Ἡ ἄμεμπτος* μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ* ἔμεινεν ἄφθορος.* Ὁ ὢν καὶ προών* καὶ φανεὶς ὡς ἄνθρωπος* Θεὸς, ἐλέησον ἡμᾶς.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιο-σύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν

ἀνυπόκριτον˙ λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα˙ ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν˙ συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι˙ ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως˙ ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε˙ μάθετε δικασταὶ περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ' 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## Εἰς τήν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ Κίεβον πόλις ἡ μεγίστη,* ὡς μήτηρ καλλίγονος,*
ἐπί τοῖς σοῖς τέκνοις εὐφραινομένη·* ἐκ σοῦ γάρ ἐβλάστησεν* ὁ εἰς ἔπαινον σήμερον προκείμενος,* Δημήτριος ὁ τῆς Ῥαστωβίας Ἐπίσκοπος·* οὗτος γάρ τοῦ Πνεύματος χειροτονία ὑπάρχων* Ἱεραρχῶν ὑπογραμμός ἐδείχθη,* δι' εὐποιΐας καί τῆς τοῦ ποιμνίου καθοδηγήσεως·*
αὐτοῦ τήν μνήμην οὖν πιστῶς ἑορτάζοντες,*
χεῖρας κροτοῦμεν βοῶντες*
πρός Χριστόν τόν Κύριον·* τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσας Χριστέ,* ὧν τάς ἱκεσίας δέχου, Πολυέλεε.

### Ἦχος β΄.

Δεῦτε συμφώνως οἱ πιστοί,* τὸν τοῦ Χριστοῦ ἄρνα* καί τοῦ ποιμνίου Αὐτοῦ* τόν Ποιμένα τόν γλυκύν,* Δημήτριον τόν Ῥαστωβίας Ἐπίσκοπον,* Ῥωσίας τό εὐκλεές ἀπάνθισμα,* ᾄσμασιν ἐγκωμίων καταστέψωμεν,* ὡς ἀγωνισάμενον ὑπὲρ τῆς τοῦ λαοῦ σωτηρίας,* τὴν πίστιν τε τηρήσαντα,* τὸν δρόμον τῆς ἀρετῆς τελέσαντα* καὶ ἑαυτὸν ἀναλώσαντα* τῷ Μυστηρίῳ τῆς Πίστεως.* Αὐτῷ οὖν βοήσωμεν·* πρέσβευε, Πάτερ, ἀπαύστως,* σὺν Ἱεράρχαις καὶ Δικαίοις,* λυτρωθῆναι ἐκ κινδύνων καὶ παθῶν,* αἱρέσεων καὶ πάσης πλάνης,* τοὺς ἐν πίστει τιμῶντας,* τὴν θείαν σου κοίμησιν.

Ἦχος γ'.

Ἐν τοῖς Ἁγίοις αὐτῆς* καυχᾶται ἐν Κυρίῳ ἡ Ἁγία Μόσχα,* ἡ Ἀλεξίου καί Πέτρου καθέδρα·* ὁμοίως δέ καυχᾶται καί Ῥαστωβία* ἐπί Δημητρίῳ τῷ αὐτῆς Ποιμένι,* ὅς ταύτης ἀνεδείχθη σεπτός Ἐπίσκοπος. Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον Πάτερ ἱκέτευε,* ἵνα ἄρῃ ἁμαρτίας τόν ζυγόν* καί δεχθῇ ἡμῶν τήν μετάνοιαν,* πρεσβείαις καί λιταῖς ταῖς σαῖς, Ἅγιε.

Ἦχος δ'.

Ἐν τῇ πέτρᾳ τῇ στεῤῥᾷ* τῆς εἰς Χριστὸν πίστεως,* τὸν τῆς σῆς ὁμολογίας πηξάμενος οἶκον,* προσβολαῖς οὐ σεσάλευσαι τῶν ἐναντίων* καὶ προσρήξεσιν, Δημήτριε,* ἀλλ' ἀκράδαντος ἔμεινας,* ἐν ὅλῳ τῷ βίῳ καὶ ἀτίνακτος·* διό ᾔσχυνας* τῇ τοῦ Σταυροῦ δυνάμει τὸν ἀόρατον ὄφιν,* ταῖς αὐτοῦ ἀνάλωτος ἐνέδραις ὀφθείς καὶ ἐπιβουλαῖς·* καθ' οὗ ταῖς σαῖς πρεσβείαις,* τοὺς εὐφημοῦντάς σε, Πάτερ, ἐνίσχυσον.

Δόξα. Ἦχος πλ. α'.

Ἱερατικῆς ἐραστής γενόμενος πολιτείας,* ποιμαντικούς ἀγῶνας ἐπεδείξω,* ἐν Ῥαστωβίᾳ ἐργασάμενος, Ἅγιε·* δι' ὧν λαόν τόν τοῦ Θεοῦ* ἐπί πόαν ἀληθείας ὁδηγήσας,* τοῦτον ἐξέθρεψας τῇ τοῦ Πνεύματος οὐρανίῳ βρώσει·* ὅθεν, Δημήτριε σοφέ,* μετά πάντων τῶν Ἁγίων* τόν Κύριον ἱκέτευε,* τοῦ λαβεῖν ἡμᾶς εὐχαῖς σου καί ἱκεσίαις,* παρ' Αὐτοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον. Ὁμόηχον.

Μακαρίζομέν Σε,* Θεοτόκε Παρθένε,* καὶ δοξάζομέν Σε* οἱ πιστοὶ κατὰ χρέος,* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄρρηκτον,* τὴν ἀρραγῆ προστασίαν,* καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Εἰς τόν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, τῆς Ἐκκλησίας φωστήρ,* τό τῆς Ῥωσίας τέκνον καί θρέμμα πανάριστον,* ὁ κόσμος τῆς Ἐκκλησίας,* ὁ φῶς προχέων ἡμῖν* τῷ τοῦ Παρακλήτου, πανσεβάσμιε·* μή ἐπιλάθου δεόμεθα* τῆς σῆς ποίμνης, πλήν πρέσβευε,* Χριστῷ Κυρίῳ* ὑπέρ αὐτῆς, ἵνα ῥύεται* ἀπό κινδύνων καί δεινῶν περιστάσεων.* Πρόφθασον ταῖς πρεσβείαις σου,* θερμαῖς πρός Φιλάνθρωπον·* φώτισον, Πάτερ, τούς σκότει* παθῶν δεινῶν περιπίπτοντας·* καί δώρησαι πᾶσι* φωτισμόν Πνεύματος θείου, Ὅ σύ ἐλειτούργησας.

Στ. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις, ἡ πᾶσα γῆ ῥωσική* καί Ῥαστωβίας ἡ καλλίστη Μητρόπολις* καί Μόσχας ἡ Ἐκκλησία,* ἐπί τῷ τέκνῳ ὑμῶν,* θείῳ Δημητρίῳ τῷ θεόφρονι·* αὐτός ἐν ἀγῶσι γάρ* τῆς ἀρετῆς βίον ἤνυσε,* τῶν πρό ἐκείνου* Ἐπισκόπων μιμούμενος* βίον ἔνθεον* καί βιοτήν τήν οὐράνιον.* Πάντες οὖν ἐκβοήσωμεν* αὐτῷ μετά πίστεως,* χεῖρας κροτοῦντες αἰνέσει·* χαῖρε Πατήρ ἡμῶν ἥδιστε,* Χριστοῦ Ἐκκλησίας* πανευφρόσυνον κλέος καί ἐνδιαίτημα.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Δεῦτε ἐν Ῥαστωβίας Ναῷ* τῆς Θεοτόκου, μετά σπουδῆς, φίλοι, σπεύσωμεν,* τοῦ κῦψαι γόνυ προθύμως* πρό τῶν λειψάνων αὐτοῦ,* μνήμην Δημητρίου τοῦ θεόφρονος* τιμῶντες, κραγάζοντες·* χαίροις Πάτερ θεόστεπτε*, τῆς Ἐκκλησίας συγγραφεῦ ἀξιάγαστε,* Βίους Ἁγίων καταγράψας ἐν κώδιξι·* χαίροντες οὖν σοί λέγομεν* ἐκ πόθου βοῶντες σοι·* χαίροις τῶν Ῥώσων ἡ δόξα* καί Ὀρθοδόξων τό σέμνωμα·* Χριστοῦ Ἐκκλησίας* παναρμόνιος κινύρα,* εὔηχον ὄργανον.

Δόξα. Ἦχος πλ. β'.

Ἐκ τῆς Ῥωσίας ὡς ἄνθος εὐῶδες,* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Δημήτριε μακάριε·* τῆς δέ ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ* μετά τῶν μακαρίων συναγάλλῃ Ἁγίων,* ὡς ὄντως μακάριος·* διό χαριστήριον ᾠδήν σοί ᾄδοντες,* ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ, Ἅγιε,* ἡμῶν τῶν προσπιπτόντων σοι,* ἀλλ' ἀπαύστως πρέσβευε τῷ Κυρίῳ,* ῥυσθῆναι ἡμᾶς* ἀπό τῆς παρούσης ἀνάγκης καί περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Θεοτόκε, Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα* τὸν καρπὸν τῆς ζωῆς·* Σὲ ἱκετεύομεν,* πρέσβευε, Δέσποινα,* μετὰ τοῦ Ἱεράρχου* καὶ πάντων τῶν Ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Μοναζόντων ἀλείπτης ἐν Ῥωσίᾳ ἀναδέδειξαι* καί τῶν τοῦ Κυρίου Ἁγίων συγγραφεύς Βίων ἔνθερμος·* μονῆς τε τοῦ Κυρίλλου οἰκιστής,* Ποιμήν δέ Ῥαστωβίας ἀγαθός·* τό σόν λείψανον κατέλιπες τοῖς πιστοῖς* ἀδιάφθορον, Δημήτριε.* Δόξα οὖν τῷ σὲ δοξάσαντι Χριστῷ,* δόξα τῷ σὲ ἁγιάσαντι,* δόξα τῷ δωρουμένῳ διὰ σοῦ* πᾶσιν τήν ἴασιν.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοί Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικίσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διά τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἀστήρ ὡς ἀληθῶς,* ἐν Ῥαστωβίᾳ ἐκλάμψας,* φωτί τῶν ἀρετῶν,* λόγοις τε καί σημείοις,* φωτίζεις τήν παγκόσμιον* Ἐκκλησίαν καί ἅπασαν* γῆν, καλούμενος* ἐπί τῇ θείᾳ σου μνήμῃ,* εἰς πανήγυριν,* Δημήτριε θεοφόρε,* ἡμᾶς τούς τιμῶντας σε.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Ἁγνή ἡ τόν Θεόν* ἡμῶν τεκοῦσα, τό κλέος* ἁπάντων εὐσεβῶν,* ἡ χαρά καί ἡ δόξα·* μή

παύῃς δεόμεθα* ἱκετεύειν Ὅν ἔτεκες,* ἵνα ῥύσηται* ἡμᾶς παθῶν ψυχοφθόρων* καί δωρήσηται* ζωῆς ἀλήκτου τόν τόπον,* πρεσβείαις Σου, Πάνσεμνε.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἡ μνήμη σου, Ἅγιε, ἐπισυνάγει ἡμᾶς,* τοὺς θείους ἀγῶνάς σου ὑμνολογῆσαι πιστῶς·* διό ἱκετεύομεν,* πρέσβευε τῷ Κυρίῳ,* ἵνα πάντες ῥυσθῶμεν* πάσης τοῦ ἀλλοτρίου* ἐπιῤῥοίας καί βλάβης·* τυχεῖν δέ τῆς οὐρανίου μακαριότητος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Παρθένε Πανάμωμε, ὤφθης δοχεῖον φωτός,* διὸ εὐφημοῦμέν Σε τὴν προστασίαν ἡμῶν* καὶ Σὲ ἱκετεύομεν·* δίωξον τοὺς κινδύνους* τοὺς ἡμᾶς ἀπειλοῦντας·* φρούρησον δὲ τῷ τείχει* πρεσβειῶν Σῶν ἀσείστῳ,* τοὺς Σὲ ἀνυμνοῦντας πόθῳ, Πανένδοξε.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.

Ἐκκλησίας ἐδείχθης φωστήρ ὑπέρλαμπρος,* δι' ἁγιότητος βίου ἐκλάμπων πέρασι* τῆς ὑφηλίου καί ῥοαῖς* τῶν σῶν ἱδρώτων τοῦ ἐχθροῦ* κατέστρωσας τήν στρατείαν·* διό ἐκτήσω τήν χάριν* τοῦ ἱκετεύειν ἀπαύστως* ἡμῶν τὸν Κύριον, Δημήτριε.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Σοῦ Θεοτόκε ὁ οἶκος, ὁ τῆς Ἑλλάδος, τά νῦν* ὑπ' ἀπροβλέπτου κινδύνου δεινῶς ταράττεται* καί αἱμάσει·

Μαριάμ,* σπεῦσον οὖν πρόφθασον ταῖς Σαῖς* πρός Κύριον σεπταῖς λιταῖς,* καί ῥῦσαι τοῦτον, Παρθένε,* καί ἀναστήλωσον, Μῆτερ,* ἐν εὐσεβείᾳ καί χριστότητι.

Οἱ Ἀναβαθμοί· τό α' Ἀντίφωνον τοῦ δ' Ἦχου.

Προκείμενον. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοι-κοῦντες τὴν οἰκουμένην.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι' 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Ὁ Ν΄(50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός,…*

Ἐκ τῆς Ῥωσίας ὡς ἄνθος εὐῶδες,* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Δημήτριε μακάριε·* τῆς δέ ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ* μετά τῶν μακαρίων συναγάλλῃ Ἁγίων,* ὡς ὄντως μακάριος·* διό χαριστήριον ᾠδήν σοί ᾄδοντες,* ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ, Ἅγιε,* ἡμῶν τῶν προσπιπτόντων σοι,* ἀλλ’ ἀπαύστως πρέσβευε τῷ Κυρίῳ,* ῥυσθῆναι ἡμᾶς* ἀπό τῆς παρούσης ἀνάγκης καί περιστάσεως.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, δοξαστικός καί ἐν ταυτῷ ἱκετευτικός, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Χάρισαί μοι λόγον, Τριάς σεπτή,* λιταῖς τοῦ ἁγίου* Λειτουργοῦ Σου καί φωτισμόν,* ἵνα δυνηθῶ τοῦ ἀνυμνῆσαι,* τὰ κατ’ ἐχθροῦ αὐτοῦ ἔνδοξα τρόπαια.

Ἀγάπης τόν ἔμπλεον, ἀδελφοί,* ὑμνήσωμεν ὕμνοις* θεαρέστοις καί τήν αὐτοῦ* τιμήσωμεν μνήμην εὐφροσύνως*, ὡς θεαρέστως ἐν κόσμῳ βιώσαντος.

Ἴον εὐωδέστατον τοῦ Σταυροῦ,* κρῖνον ἐκβλαστήσαν* ἐν τῇ Ῥωσίας ἁγίᾳ γῇ,* ῥόδον εὐωδέστατον, Πάτερ,* τῇ Ἐκκλησίᾳ ἐδείχθης, πανόλβιε.

Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τεκοῦσα τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καὶ Πνεύματι ἅμα· διὸ πάντες,* ὡς Θεοτόκον ἀεὶ μακαρίζομεν.

Ὠδή γ΄. Οὐρανίας ἁψίδος.

Ῥίψας πάντα διά φόβον* τόν τοῦ Θεοῦ Ἅγιε,* πάσας τῆς σαρκὸς τὰς ὀρέξεις καταπεπάτηκας* καὶ βίον ἔνθεον* ἐπὶ τῆς γῆς διανύσας,* τῆς τρυφῆς ἠξίωσαι τῆς ὑπὲρ ἔννοιαν.

Ἐμπαθείας νικήσας* τούς λογισμούς, Ἅγιε,* πράος καὶ ἀκέραιος ὤφθης* καὶ πλήρης χάριτος,* παιδεύων τέκνα σου* πρὸς ἐπιδόσεις ἁγίας* καί παραμυθῶν αὐτά, θεῖε Δημήτριε.

Ὅλως ἡγιασμένος,* ὅλως κεκαθαρμένος,* ὅλως οὐράνιος,* ὤφθης ἐν γῇ βιώσας* Ἀγγέλων οὐρανίων* τήν βιοτήν ἐζήλωσας·* καί γέγονας τοῖς ἐν τῇ γῇ* θείων Ἀγγέλων εἰκών τε καί πρότυπον.

Θεοτοκίον.

Νεκρωθέντα με, Μῆτερ,* ταῖς τοῦ Βελίαρ προσκρούσεσι,* ζώωσον δεινῶς νεκρωθεῖσαν τοῖς παραπτώμασι,* Παρθένε Ἄχραντε,* τὴν παναθλίαν ψυχήν μου* καὶ ταύτην συνέτισον* φόβῳ τοῦ Κτίσαντος.

Κάθισμα. Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.

Τούς ἀγῶνας καί κόπους τούς σούς, πιστοί* νοερῶς θεωροῦντες, πλήν εὐκρινῶς,* πάσης κατανύξεως τάς ψυχάς ἐμπιμπλάμεθα* καί πρό ς θεῖον ὕμνον καί δόξαν καί αἴνεσιν,* τοῦ κόσμου Κυρίου, τοῦ πάντων δεσπόζοντος,* πόθῳ ἐγκαρδίῳ ἑαυτούς συγκινοῦμεν,* ᾠδαῖς σέ γεραίροντες, ὡς Πατέρων ὁμότροπον* καί πιστῶς ἐκβοῶμεν σοι·* πρόφθασον ἱλέωσαι Κριτήν* σαῖς πρός Τοῦτον ἐνθέρμοις δεήσεσιν·* Αὐτόν ἐπίκαμψον σεπτέ,* Ῥαστωβίας τό θεῖον ἀγλάϊσμα.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Χαριστήριον αἶνον χρεωστικῶς,* ὡς ἡ χήρα ἐκείνη δύο λεπτά,* προσφέρω Σοι, Δέσποινα,* ὑπέρ πασῶν τῶν χαρίτων Σου·* Σύ γάρ ὤφθης σκέπη, ὁμοῦ καί ἀντίληψις,* πειρασμῶν καί θλίψεων ἀεί με ἐξαίρουσα·* ὅθεν ὡς ἐκ μέσου* φλογιζούσης καμίνου,* ῥυσθείς τῶν θλιβόντων με,* ἐκ καρδίας κραυγάζω Σοι·* Θεοτόκε βοήθει μοι,* πρεσβεύουσα τῷ Σῷ Υἱῷ καί Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι·* Σέ γάρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλος Σου.

Ὠδή δ'. Εἰσακήκοα Κύριε.

Πάτερ θεῖε ἐπάκουσον,* λύτρωσαι κινδύνων τοὺς σὲ γεραίροντας* καὶ τιμῶντάς σου τὰ λείψανα,* ὅπως σέ ἀπαύστως μακαρίζομεν.

Ἀνυμνῶ σε, πανεύφημε,* διό νενεκρωμένην ψυχὴν μου ζώωσον* καὶ ἀνάστησον πρεσβείαις σου,* ἐραστά Κυρίου, πανσεβάσμιε.

Βαρυνθέντας τοῖς πάθεσι,* ὡς ἔχων παῤῥησίαν καθικέτευε,* τοῖς ὑμνοῦσί σε δωρήσασθαι,* τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι,* θείου Δημητρίου τε Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τὴν ἄφεσιν,* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Βοήθησον ἡμᾶς,* ταῖς πρεσβείαις σου, πανεύφημε,* ὡς ἐλέους τοῦ Κυρίου ἐραστής,* Ῥαστωβίας τῆς μεγίστης ἴον εὔοσμον.

Νίκην ἐκ Θεοῦ* ταῖς εὐχαῖς Σου ἡμῖν δώρησαι,* τοῦ Βελίαρ καταργῶν τάς προσβολάς,* ὡς Κυρίου Ἀρχιθύτης, Πάτερ Ἅγιε.

Ἴασαι πιστούς,* τούς λειψάνοις σου προστρέχουσι,* θεῖε Πάτερ, καί αἰτουμένους παρά σοῦ* ἀσθενείας ἐξ ἁπάσης νῦν τήν ἴασιν.

Θεοτοκίον.

Ὡράϊσόν με, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τὸ καθαρὸν Χριστοῦ παλάτιον* καὶ καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Τόν λύσαντα* τήν ἁμαρτίαν τοῦ κόσμου* καί ἐν Κρανίῳ καταργήσαντα ταύτην,* ἀπό παιδός ἀγαπήσας, ὦ Πάτερ,* ἐκ τοῦ Κιέβου Ῥαστωβίᾳ κατέπαυσας,* ἐν ᾗ καθήρας σήν ψυχήν,* εἰς τήν ἀγάπην Αὐτοῦ ἐστερεώσω.

Ἱλάσθητι* ἀνεβόας, ὦ Πάτερ,* πρός τόν Θεόν ἐπί τούς πταίοντας ὅλως·* τοῖς δέ, μετανοίας τοῖς ἔργοις Κυρίῳ* εὐαρεστῆσαι σπεύσατε ἔλεγες.* Ἱλάσθητι ἡμῖν, Σωτήρ,* ὁ ἐκ Παρθένου τεχθείς, Ὑπεράγαθε.

Εὔχου ἡμῖν* τῶν τιμώντων σήν μνήμην·* μή ἐπιλάθου τῷ Κυρίῳ πρεσβεύειν,* ὡς παῤῥησίαν κεκτημένος, ὦ Πάτερ,* νῦν ἐν τῷ πόλῳ χορεύων καί ἔλεος* δυνάμενος ταῖς σαῖς λιταῖς* ἐπομβρίσαι ἡμῖν τοῖς ἱκέταις σου.

Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Δημητρίου οἱ πιστοί τήν μνήμην σήμερον* ᾠδαῖς εὐήχοις καί εὐμόλποις μακαρίσωμεν,* τοῦ κλεήσαντος τόν θρόνον τῆς ἐν Ῥωσίᾳ* Ῥαστωβίας, ἐν αὐτῇ ἐπισκοπεύσαντος* καί ἀρετήν διά βίου προκηρύξαντος· πρός ὅν εἴπωμεν,* χαίροις Πάτερ θεόσοφε.

Ὁ Οἶκος.

Τόν μέγαν ἐν Ἀρχιερεῦσι τιμήσωμεν Δημήτριον, ὦ φίλοι, ὅστις Ῥαστωβίας ἐδείχθη Ποιμήν τε καί Ἄγγελος· τούς Ἁγίους γάρ τοῦ Θεοῦ ἐκ καρδίας ἀγαπήσας, τούς Βίους αὐτῶν ἐν κώδιξι κατέγραψεν, δούς τῷ λαῷ τροφήν ἐξαίσιον καί μιμήσεως ἄξιον ζωῆς πρώτυπον· ἐπί τῷ τέλει δέ, ἀφθαρσίᾳ τιμηθείς παρά τοῦ ἐτάζοντος καρδίας καί νεφρούς Κυρίου, θαυματουργός ἐφάνη, ἐλεῶν τούς αὐτῷ μετά πίστεως προστρέχοντας καί βοῶντας· Χαίροις Πάτερ θεόσοφε.

Συναξάριον.

Τῇ 28η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Δημητρίου τοῦ Θαυματουργοῦ, Ἀρχιεπισκόπου Ῥαστωβίας τῆς ἐν Ῥωσίᾳ (+ 1709).

Στίχοι·

*Χαίρων οὐρανός Δημητρίου ψυχήν ἐδέξατο,*

*διό ψαλμικῶς αὐτόν ἐν ὕμνοις γεραίρομεν.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νόσων καί κινδύνων* ἰατρός ἐδόθης,* Πάτερ, τῷ κόσμῳ· διό θεράπευσον* τραύματα καί πληγάς τε* ἡμῶν τάς ἀοράτους,* ὅπως ἀεὶ ἐκβοῶμεν σοι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός εὐλογητός εἶ.

Ὕμνος ἡ σή ἐφάνη* βιοτή τῷ Θεῷ σου, Δημήτριε·* Ῥοστώφ πέλεις τό κλέος·* ἐν σοὶ γάρ ἐγκαυχᾶται,* ἥ

καὶ ψάλλει κραυγάζουσα·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς εὐλογητὸς εἶ.

Ὅλως ἡγιασμένος,* ὅλως κεκαθαρμένος,* ὅλως οὐράνιος,* ἐπώφθης διά βίου* κἄν ἄνθρωπος ὑπάρχων* βίον Ἀγγέλων ἐζήλωσας,* καί γέγονας τοῖς ἐν τῇ γῇ* θείων Ἀγγέλων εἰκών τε καί πρότυπον.

Θεοτοκίον.

Ὢ Μῆτερ Θεοτόκε,* ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου Ἁγνή·* ἀνάψυξον, Παρθένε,* ψυχάς πεπυρωμένας,* τῶν μετά πόθου ψαλλόντων Σοι·* χαῖρε οὐράνιε λιμήν* πάντων τῶν σωζομένων.

Ὠδή η΄. Τόν Βασιλέα.

Ναός καί εἰκόνα* σεπτοῦ Δημητρίου,* ἰατρεῖον πρόκεινται τοῖς πᾶσι* τοῖς αὐτοῦ τιμῶσι* τήν θειωτάτην μνήμην.

Ἁγίων, Πάτερ,* ἐμιμήσω τόν βίον,* διό χαρίτων πλησθείς παρά Κυρίου,* προστάτης ἡμῶν πάντων* καί ἔφορος νῦν πέλεις.

Ἤδη πληροῦντες* Δημητρίου τόν ὕμνον,* ἐλπίζομεν τυχεῖν αὐτοῦ πρεσβείαις,* ἐν μετανοίᾳ* τοῦ μακαρίου τέλους.

Θεοτοκίον.

Ὢ φῶς μοι δίδου,* ψυχῆς ἀορασίαν,* φωταγωγοῦσα Σύ, φωτός ἀκτίστου Μῆτερ,* τοῦ δεομένου* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θʹ. Κυρίως Θεοτόκον.

Νικῆσαι διαβόλου* δόκανα καί παγίδας* τῇ σῇ πρεσβείᾳ αἰτούμεθα, πάνσοφε,* οἱ τὴν σὴν μνήμην τιμῶντες* Πατέρων σύσκηνε.

Ἴδε μου τήν πτωχείαν* τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις πρός Κ ύριον, Ἅγιε,* ἐμὴν ψυχὴν πλούτισον* Πνεύματος χάρισι.

Ὁδόν τῆς μετανοίας* ἀξίωσον βαδῖσαι* καί τό χειρόγραφον, μάκαρ, διάρρηξον* τῆς ἁμαρτίας, τοῦ τήν σὴν μνήμην* κηρύττοντος.

Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* τῷ Δημητρίῳ ὁμοῦ Αὐτῷ πρεσβεύσατε,* ἵνα δωρήσηται ἡμῖν,* ἁμαρτιῶν τὴν ἄφεσιν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χριστός τήν σήν ἐδέξατο* ἄσκησιν ὡς θυμίαμα,* Δημήτριε Πάτερ* καί ἀντιδόξασεν· ὅθεν* ἡμεῖς καθικετεύομεν* μή παύσῃς ταῖς πρεσβείαις σου,* ἁμαρτημάτων τήν λῦσιν* διδόναι Κύριος πᾶσι* τοῖς ἐκτελοῦσι τήν μνήμην.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαρὰν τὴν ἀνεκλάλητον,* Πάναγνε ἡ κυήσασα,* χαρᾶς ἡμᾶς αἰωνίου,* μετόχους ποίησον πάντας,* Παρθένε

θεονύμφευτε,* ἡ σκέπη τὸ κραταίωμα,* τῶν εὐσεβῶς βοώντων Σοι·* μὴ ἐπιλάθῃ Σῶν δούλων,* Θεοκυῆτορ Μαρία.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παρακλήτου τήν χάριν* λαβών, θειότατε,* ἀσκήσει σου καθεῖλες* τόν ἀρχέκακον ὄφιν·* ἀνθρώπων δέ ἐδείχθης πρός οὐρανόν* ὁδοδείκτης, μακάριε·* διό τήν μνήμην σου ᾄσμασιν καί ᾠδαῖς* ἀν αμέλποντες τιμῶμεν σου.

Πόλις Κιέβου συγχαίρει* ἡ σέ βλαστήσασα* καί Ῥαστωβίᾳ πᾶσα* καί σούς ἀγῶνας κηρύττει·* καί πᾶσα Ἐκκλησία ἡ τοῦ Χριστοῦ* σέ μακαρίζει, μακάριε,* ὡς Ἀρχιθύτην Κυρίου καί τῶν πιστῶν* ποδηγέτην τόν θεόφθογγον.

Ῥωσία σύμπασα χαίρει* ἐπί σοί, Ἅγιε,* ὡς μήτηρ καυχωμένη* ἐπί σῇ θείᾳ δόξῃ·* Ῥοστώφ δέ ἡ πόλις ἡ ἱερά* λαμπρούς ἀγῶνας κηρύττει σου·* τούτων ὑπάρχεις γάρ δόξα καί ἡ τιμή,* ἡμῶν δέ πρέσβυς πρός τόν Κύριον.

Ἡμῶν τήν χώραν, ὦ Πάτερ,* τήν κινδυνεύουσαν,* μή ἐπιλάθου θρόνῳ* τοῦ Θεοῦ ἐνωπίῳ* ἑστώς, ὦ Ἀρχιθύτα, καί πατρικῶς* σαῖς εὐχαῖς περιφρούρησον·* ἵνα κηρύττῃ σήν δόξαν κ αί τήν τιμήν* ἥν Χριστός σοί ἐπιβράβευσεν.

Δόξα. Ἦχος πλ. α΄.

Ἐκ τῆς Ῥωσίας ὡς ἄνθος εὐῶδες* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Δημήτριε μακάριε·* τῆς τε ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ μετά τῶν Ἁγίων συναγάλλει Πατέρων,* ὡς ὄντως Ἀρχηθύτης καλλίνικος·* διό χαριστήριον ᾠδήν σοί ἄδοντες* ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ, Ἅγιε, καί τῆς ἡμῶν πατρίδος,* ἀλλ' ἐνθέρμως πρέσβευε τῷ Κυρίῳ,* ῥυσθῆναι αὐτήν τῆς παρούσης περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε,* Θεοτόκε Παρθένε,* καὶ δοξάζομέν Σε* οἱ πιστοὶ κατὰ χρέος,* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄρρηκτον,* τὴν ἀρραγῆ προστασίαν,* καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαῖρε τῆς Ῥωσίας ἡ καλλονή* καί Ἀρχιερέων,* ἐν ἀγῶσι ὁ μιμητής·* χαῖρε Ῥοστώφ ἡ δόξα καί κλέος τοῦ Κιέβου·* Δημήτριε εὐχαῖς Σου* ἡμᾶς περίσωζε.

Στίχοι. *Κλήμεντος τήν εὐλάβειαν Δημήτριε δέχου,*

*ὅς Ἀρχιερεύς τυγχάνει Γαρδικίου.*

*Τόν σύραντα δέ πτωχάς γραμμάς εἰς ὕμνον*

*Ἀντώνιον σκέπε ψυχῆς ἀπό κινδύνου.*